ΚΡ. σκέψασθ᾽ ὃ παῖς ποτ᾽ οὖσ᾽ ὕφασμ᾽ ὕφην᾽ ἐγώ.
ΙΩΝ. ποῖόν τι; πολλὰ παρθένων ὑφάσματα.
ΚΡ. οὐ τέλεον, οἷον δ᾽ ἐκδίδαγμα κερκίδος.
ΙΩΝ. μορφὴν ἔχον τίν᾽; ὥς με μὴ ταύτῃ λάβῃς.
ΚΡ. Γοργὼν μὲν ἐν μέσοισιν ἠτρίοις πέπλων.
ΙΩΝ. ὦ Ζεῦ, τίς ἡμᾶς ἐκκυνηγετεῖ πότμος;
ΚΡ. κεκρασπέδωται δ᾽ ὄφεσιν αἰγίδος τρόπον.
ΙΩΝ. ἰδού, τόδ᾽ ἔσθ᾽ ὕφασμα θέσφαθ᾽ ὡς εὑρίσκομεν.
ΚΡ. ὦ χρόνιον ἱστῶν παρθένευμα τῶν ἐμῶν.
ΙΩΝ. ἔστιν τι πρὸς τῷδ᾽, ἢ μόνῳ τῷδ᾽ εὐτυχεῖς;
ΚΡ. δράκοντες ἀρχαῖόν τι παγχρύσῳ γένυι.
ΙΩΝ. δώρημ᾽ Ἀθάνας ἣ τέκν᾽ ἐντρέφειν λέγει.
ΚΡ. Ἐριχθονίου γε τοῦ πάλαι μιμήματα.
ΙΩΝ. τί δρᾶν, τί χρῆσθαι, φράζε μοι, χρυσώματι;
ΚΡ. δέραια παιδὶ νεογόνῳ φέρειν, τέκνον.
ΙΩΝ. ἔνεισιν οἵδε· τὸ δὲ τρίτον ποθῶ μαθεῖν.
ΚΡ. στέφανον ἐλαίας ἀμφέθηκά σοι τότε,
ἣν πρῶτ᾽ Ἀθάνας σκόπελος ἐξηνέγκατο,
ὅς, εἴπερ ἔστιν, οὔποτ᾽ ἐκλείπει χλόην,
θάλλει δ᾽, ἐλαίας ἐξ ἀγηράτου γεγώς.
ΙΩΝ. ὦ φιλτάτη μοι μῆτερ, ἄσμενός σ᾽ ἰδὼν
πρὸς ἀσμένας πέπτωκα σὰς παρηίδας.
ΚΡ. ὦ τέκνον, ὦ φῶς μητρὶ κρεῖσσον ἡλίου·
συγγνώσεται γὰρ ὁ θεός· ἐν χεροῖν σ᾽ ἔχω,
ἄελπτον εὕρημ᾽, ὃν κατὰ γᾶς ἐνέρων
χθόνιον μετὰ Περσεφόνας τ᾽ ἐδόκουν ναίειν.
ΙΩΝ. ἀλλ᾽, ὦ φίλη μοι μῆτερ, ἐν χεροῖν σέθεν
ὁ κατθανών τε κοὐ θανὼν φαντάζομαι.
ΚΡ. ἰὼ ἰώ, λαμπρᾶς αἰθέρος ἀναπτυχαί,
τίν᾽ αὐδὰν ἀύσω
βοάσω; πόθεν μοι

---

1421. *ἠτρίοις*] Musgravius, *ἠτρίων* libri. 1423. *κεκρασπέδωται δ᾽ B* (?) *κεκρασπέδωτ᾽ C* 1426. *πρὸς τῷδ᾽*] L. Dindorfius, *πρὸς τῷ γ᾽* libri. 1427. *γένυι*] Heathius, *γένει* libri. 1430. *χρυσώματι*] L. Dindorfius, *χρυσώμια* libri. 1434. *σκόπελος ἐξηνέγκατο*] Scaliger, *σκόπελον εἰσηνέγκατο* libri. 1435. *οὔποτ᾽*] Barnesius, *οὔπερ* libri. 1436. *ἀγηράτου*] Badhamus, *ἀκηράτου* libri.